# Ode to Athens

## For the Olympic Games, Athens 2004

Armand D’Angour

*τᾶς ’Αθάνας γᾶς ἱερὸν τέμενος*
*καὶ πόλιν ἀθάνατον Θησέος καὶ ’Ερεχθεϊδᾶν*
*ὑμνήσομεν, ἔνθεν ’Αθαναῖοι παλαιοί*
*καί ποθ’ ἥρωες πρὸς ἀγῶνα μόλον*
*τᾶς ’Ολυμπίας φαεννᾶς·*
*νῦν τάδ’ ἄεθλα χρόνῳ δευτέρῳ σὺν τύχᾳ*
*αὖθί σε δεξαμέναν*
*ἀγλαΐζωμεν μέλει σὺν Πινδαρείῳ.*

*δεῦτ’ ἐς ὀμφαλόν, νέοι ἠδὲ κόραι,*
*τηλόθεν ἐρχόμενοι χώρων ἀπὸ μυριάδων*
*ἀλκᾷ μὲν ἀγαλλόμενοι γνώμᾳ τε πιστοί*
*ἀμφὶ νίκας, ἡσυχίας τε χάριν*
*ἀντιαζέμεν πρόθυμοι.*
*τοῖς γὰρ ἀεθλοφόροις ἔσσεται μὲν χάρις*
*ἀμφ’ ἀρεταῖς μεγάλαις,*
*ἐν δ’ ἀώτῳ μουσικᾶς σφε κωμάσωμεν.*

*ἄλλοτε δ’ ἄλλῳ ἐπέσθω φίλον εὐτυχίας*
*δῶρον ’Ολυμπιονίκαις, δίδωσι γὰρ θεός*
*οἷς θέμις καὶ καιρὸς ἔπεστι λαχεῖν.*
*ἀλλὰ σὺν θεῷ γε λάμποι φάος ἀθάνατον καὶ τᾷ πόλει*
*τᾶς ξενίας ἕνεκεν τᾶς τε φιλοφροσύνας.*
*ὦ ματρόπολις σοφίας ἐξαίρετος καθ’ ‘Ελλάδα,*
*νῦν ἀσμένως δέξαι τόδ’ ἄγαλμα λόγων*
*ἀρχαΐῳ τετελεσμένον τρόπῳ·*
*τέλος δὲ καὶ φωνᾷ μεγάλᾳ μακαρίζω-*
*μεν σ’ ἀκμάζοισαν ὄλβῳ.*